πικρὰ βιαζόμενος δυσμενέων βέλεα·
οὐ γάρ τις κείνου δηίων ἔτ' ἀμεινότερος φὼς
ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς
ἔργον, ὅτ' αὐγῇσιν φέρετ' ὠκέος ἠελίοιο

**15** *Et. Gen./Magn.*. s.v. βάξις

καί μιν ἐπ' ἀνθρώπους βάξις ἔχει χαλεπή.

***16** Ib. statim

ἀργαλέης αἰεὶ βάξιος ἱέμενοι.

**17** Schol. Hom. *Il.* 16. 287

Παίονας ἄνδρας ἄγων, ἵνα τε κλειτὸν γένος ἵππων.

**18** Ath. 174a ὁ δὲ αὐτὸς ἱστορεῖ κἀν τῷ τετάρτῳ καὶ εἰκοστῷ τῆς αὐτῆς πραγματείας (Demetr. Sceps. fr. 14 Gaede) Δαίτην ἥρωα τιμώμενον παρὰ τοῖς Τρωσίν, οὗ μνημονεύει⟨ν⟩ Μίμνερμον.

**19** Ael. *V.H.* 12. 36 ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις... Μίμνερμος εἴκοσι.

**20** Plut. *de facie lun.* 19 p. 931e εἰ δὲ μή, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν (*Melici* 715) καὶ τὸν Ἀρχίλοχον (fr. 122), πρὸς δὲ τούτοις τὸν Στησίχορον (*Melici* 271) καὶ τὸν Πίνδαρον (*Pae.* 9. 2-5) ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/148 UNIVERSITÄT LEIPZIG